Ἐπιστολαὶ τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου:-
+ καὶ τοῦ ἁγίου Πολυκάρπου ἐπισκόπου Σμύρνης καὶ ἱερο-
μάρτυρος· ἀποστολικῶν ἀνδρῶν:.
Ἐπὶ τοῦ μακαρίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος λόγος περὶ
συντελείας τοῦ κόσμου· καὶ περὶ τοῦ ἀντιχρίστου:.
Ἔτι δὲ τῆς δευτέρας παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ:.

Τοῦ ἁγίου πολυκάρπου ἐπισκόπου σμύρνης,
καὶ ἱερομάρτυρος· πρὸς φιλιππησίους
ἐπιστολή·

Πολύκαρπος καὶ οἱ σὺν αὐτῷ πρεσβύτεροι· τῇ ἐκ-
κλησίᾳ τοῦ θεοῦ τῇ παροικούσῃ φιλίπποις· ἔλεος
ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ παντοκράτορος,
καὶ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν πληθυνθείη·
συνεχάρην ὑμῖν μεγάλως ἐν τῷ κυρίῳ ἡμῶν ἰησοῦ
χριστῷ δεξάμενοις τὰ μιμήματα τῆς ἀληθοῦς
ἀγάπης· καὶ προπέμψασιν ὡς ἐπέβαλλεν ὑμῖν
τοὺς ἐνειλημμένους τοῖς ἁγιοπρεπέσι δεσμοῖς·
ἅτινά ἐστι διαδήματα τῶν ἀληθῶς ὑπὸ θεοῦ
καὶ τοῦ κυρίου ἡμῶν ἐκλελεγμένων· καὶ ὅτι ἡ βε-
βαία τῆς πίστεως ὑμῶν ῥίζα, ἐξ ἀρχαίων καταγ-
γελλομένη χρόνων, μέχρι νῦν διαμένει· καὶ καρ-
ποφορεῖ εἰς τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν· ὅς
ὑπέμεινεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἕως θανάτου
καταντῆσαι· ὃν ἤγειρεν ὁ θεός, λύσας τὰς ὠδῖνας
τοῦ ᾅδου· εἰς ὃν οὐκ ἰδόντες πιστεύετε χαρᾷ
ἀνεκλαλήτῳ, καὶ δεδοξασμένῃ· εἰς ἣν πολλοὶ
ἐπιθυμοῦσι εἰσελθεῖν εἰδότες ὅτι χάριτί ἐστε
σεσωσμένοι· οὐκ ἐξ ἔργων ἀλλὰ θελήματι θεοῦ

διὰ ἰησοῦ χριστοῦ· διὸ ἀναζωσάμενοι τὰς ὀσφύας
ὑμῶν, δουλεύσατε τῷ θεῷ ἐν φόβῳ καὶ ἀληθείᾳ·
ἀπολειπόντες τὴν κενὴν ματαιολογίαν, καὶ τὴν
τῶν πολλῶν πλάνην· πιστεύσαντες εἰς τὸν ἐγείραντα
τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν ἐκ νεκρῶν· καὶ
δόντα αὐτῷ θρόνον καὶ δόξαν ἐκ δεξιῶν αὐτοῦ,
ᾧ ὑπετάγη τὰ πάντα ἐπουράνια καὶ ἐπίγεια.
ᾧ πᾶσα πνοὴ λατρεύσει· ὃς ἔρχεται κριτὴς ζώντων
καὶ νεκρῶν· οὗ τὸ αἷμα ἐκζητήσει ὁ θεὸς ἀπὸ τῶν
ἀπειθούντων αὐτῷ. ὁ δὲ ἐγείρας αὐτὸν ἐκ νεκρῶν,
καὶ ἡμᾶς ἐγερεῖ ἐὰν ποιῶμεν αὐτοῦ τὸ θέλημα·
καὶ πορευώμεθα ἐν ταῖς ἐντολαῖς αὐτοῦ· καὶ ἀγα-
πῶμεν ἃ ἠγάπησεν, ἀπεχόμενοι πάσης ἀδι-
κίας· πλεονεξίας· φιλαργυρίας· καταλαλιᾶς·
ψευδομαρτυρίας· μὴ ἀποδιδόντες κακὸν ἀντὶ
κακοῦ· ἢ λοιδορίαν ἀντὶ λοιδορίας· ἢ γρόνθον ἀντὶ
γρόνθου· ἢ κατάραν ἀντὶ κατάρας· μνημονεύον-
τες δὲ ὧν εἶπεν ὁ κύριος διδάσκων· μὴ κρίνετε
ἵνα μὴ κριθῆτε· ἀφίετε, καὶ ἀφεθήσεται ὑμῖν·
ἐλεᾶτε, ἵνα ἐλεηθῆτε· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμε-
τρηθήσεται ὑμῖν· καὶ ὅτι μακάριοι οἱ πτωχοὶ καὶ
οἱ διωκόμενοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν

ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. Ταῦτα ἀδελφοὶ οὐκ ἐ-
μαυτῷ ἐπιτρέψας γράφω ὑμῖν περὶ τῆς δι-
καιοσύνης. ἀλλ' ἐπεὶ ὑμεῖς προεπεκαλέσασθέ-
με. οὔτε γὰρ ἐγὼ, οὔτε ἄλλος ὅμοιος ἐμοὶ δύναται
κατακολουθῆσαι τῇ σοφίᾳ τοῦ μακαρίου καὶ
ἐνδόξου παύλου ὃς γενόμενος ἐν ὑμῖν κατὰ
πρόσωπον τῶν τότε ἀνθρώπων, ἐδίδαξεν ἀκρι-
βῶς καὶ βεβαίως τὸν περὶ ἀληθείας λόγον. ὃς καὶ
ἀπὼν ὑμῖν ἔγραψεν ἐπιστολάς. εἰς ἃς ἐὰν ἐγκύ-
πτητε, δυνηθήσεσθε οἰκοδομεῖσθαι εἰς τὴν δοθεῖ-
σαν ὑμῖν πίστιν. ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν.
ἐπακολουθούσης τῆς ἐλπίδος. προαγούσης τῆς
ἀγάπης τῆς εἰς θεὸν καὶ χριστὸν, καὶ εἰς τὸν πλη-
σίον. ἐὰν γάρ τις τούτων ἐντὸς ᾖ, πεπλήρωκεν ἐν-
τολὴν δικαιοσύνης. ὁ γὰρ ἔχων ἀγάπην, μα-
κρὰν ἐστὶ πάσης ἁμαρτίας. ἀρχὴ δὲ πάντων
χαλεπῶν, φιλαργυρία. εἰδότες οὖν ὅτι οὐδὲν εἰσ-
ηνέγκαμεν εἰς τὸν κόσμον, ἀλλ' οὐδὲ ἐξενεγκεῖν τι
ἔχομεν, ὁπλισώμεθα τοῖς ὅπλοις τῆς δικαιοσύ-
νης. καὶ διδάξωμεν ἑαυτοὺς πρῶτον πορεύεσθαι
ἐν τῇ ἐντολῇ τοῦ κυρίου. ἔπειτα καὶ τὰς γυναῖκας
ὑμῶν ἐν τῇ δοθείσῃ αὐταῖς πίστει καὶ ἀγάπῃ

καὶ ἁγνείᾳ, στέργουσας τοὺς ἑαυτῶν ἄνδρας, ἐν
πάσῃ ἀληθείᾳ· καὶ ἀγαπώσας πάντας ἐξ ἴσου·
ἐν πάσῃ ἐγκρατείᾳ· καὶ τὰ τέκνα παιδεύειν τὴν
παιδείαν τοῦ φόβου τοῦ θεοῦ. τὰς χήρας σωφρο-
νούσας περὶ τὴν τοῦ κυρίου πίστιν· ἐντυγχανούσας
ἀδιαλείπτως περὶ πάντων· μακρὰν οὔσας πά-
σης διαβολικῆς καὶ καταλαλιᾶς. ψευδομαρτυρίας·
φιλαργυρίας, καὶ παντὸς κακοῦ· γινωσκούσας
ὅτι εἰσὶ θυσιαστήριον θεοῦ· καὶ ὅτι πάντα μέμω- μώμος
σκοπεῖται, καὶ λέληθεν αὐτὸν, οὐδὲν· οὔτε λογισ-
μῶν· οὔτε ἐννοιῶν· οὔτε τι τῶν κρυπτῶν τῆς καρδίας.
εἰδότες οὖν ὅτι ὁ θεὸς οὐ μυκτηρίζεται, ὀφείλομεν
ἀξίως τῆς ἐντολῆς αὐτοῦ καὶ δόξης περιπατεῖν.
ὁμοίως διάκονοι ἄμεμπτοι κατενώπιον αὐτοῦ
τῆς δικαιοσύνης ὡς θεοῦ καὶ Χριστοῦ διάκονοι καὶ
οὐκ ἀνθρώπων· μὴ διάβολοι· μὴ δίλογοι· ἀφιλάρ-
γυροι· ἐγκρατεῖς περὶ πάντα· εὔσπλαγχνοι· ἐπι-
μελεῖς· πορευόμενοι κατὰ τὴν ἀλήθειαν τοῦ κυρίου·
ὃς ἐγένετο διάκονος πάντων· ᾧ ἐὰν εὐαρεστήσωμεν
ἐν τῷ νῦν αἰῶνι, ἀποληψόμεθα καὶ τὸν μέλλοντα,
καθὼς ὑπέσχετο ἡμῖν ἐγεῖραι ἡμᾶς ἐκ νεκρῶν.
καὶ ὅτι ἐὰν πολιτευσώμεθα ἀξίως αὐτοῦ, καὶ

καὶ συμβασιλεύσομεν αὐτῷ εἴγε πιστεύομεν· ὁμοίως καὶ νεώτεροι ἄμεμπτοι ἐν πᾶσι πρὸ παντὸς προνοοῦντες ἁγνείας, καὶ χαλιναγωγοῦντες ἑαυτοὺς ἀπὸ παντὸς κακοῦ· καλὸν γὰρ τὸ ἀνακόπτεσθαι ἀπὸ τῶν ἐπιθυμιῶν ἐν τῷ κόσμῳ· ὅτι πᾶσα ἐπιθυμία κατὰ τοῦ πνεύματος στρατεύεται· καὶ οὔτε πόρνοι· οὔτε μαλακοὶ· οὔτε ἀρσενοκοῖται, βασιλείαν θεοῦ κληρονομήσουσιν· οὔτε οἱ ποιοῦντες τὰ ἄτοπα· διὸ δέον ἀπέχεσθαι ἀπὸ πάντων τούτων ὑποτασσομένους τοῖς πρεσβυτέροις, καὶ διακόνοις, ὡς θεῷ καὶ χριστῷ· τὰς παρθένους ἐν ἀμώμῳ καὶ ἁγνῇ συνειδήσει περιπατεῖν· καὶ οἱ πρεσβύτεροι δὲ, εὔσπλαγχνοι εἰς πάντας ἐλεήμονες· ἐπιστρέφοντες τὰ ἀποπεπλανημένα· ἐπισκεπτόμενοι πάντας ἀσθενεῖς· μὴ ἀμελοῦντες χήρας, ἢ ὀρφανοῦ, ἢ πένητος· ἀλλὰ προνοοῦντες ἀεὶ τοῦ καλοῦ ἐνώπιον θεοῦ καὶ ἀνθρώπων· ἀπεχόμενοι πάσης ὀργῆς· προσωποληψίας· κρίσεως ἀδίκου· μακρὰν ὄντες πάσης φιλαργυρίας· μὴ ταχέως πιστεύοντες κατά τινος· μὴ ἀπότομοι ἐν κρίσει· εἰδότες ὅτι πάντες ὀφειλέται ἐσμὲν ἁμαρτίας· εἰ οὖν δεόμεθα τοῦ κυρίου ἵνα ἡμῖν

ἀφῆ, ὀφείλομεν καὶ ἡμεῖς ἀφιέναι· ἀπέναντι γὰρ
τῶν τοῦ κυρίου καὶ θεοῦ ἐσμὲν ὀφθαλμῶν· καὶ πάντας
δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ· καὶ ἕκαστον
ὑπὲρ αὑτοῦ λόγον δοῦναι. οὕτως οὖν δουλεύσωμεν
αὐτῷ μετὰ φόβου καὶ πάσης εὐλαβείας, καθὼς
αὐτὸς ἐνετείλατο, καὶ οἱ εὐαγγελισάμενοι ἡμᾶς
ἀπόστολοι καὶ προφῆται, οἱ προκηρύξαντες τὴν
ἔλευσιν τοῦ κυρίου ἡμῶν· ζηλωταὶ περὶ τὸ καλόν,
ἀπεχόμενοι τῶν σκανδάλων, καὶ τῶν ψευδα-
δέλφων, καὶ τῶν ἐν ὑποκρίσει φερόντων τὸ ὄνομα
τοῦ κυρίου· οἵτινες ἀποπλανῶσι κενοὺς ἀνθρώπους.
πᾶς γὰρ ὃς ἂν μὴ ὁμολογῇ τὸ μαρτύριον τοῦ σταυροῦ,
ἐκ τοῦ διαβόλου ἐστί· καὶ ὃς ἂν μεθοδεύῃ τὰ λόγια
τοῦ κυρίου πρὸς τὰς ἰδίας ἐπιθυμίας, καὶ λέγει
μήτε ἀνάστασιν, μήτε κρίσιν, οὗτος πρωτότοκος
ἐστὶ τοῦ σατανᾶ. διὸ ἀπολιπόντες τὴν ματαιό-
τητα τῶν πολλῶν καὶ τὰς ψευδοδιδασκαλίας
ἐπὶ τὸν ἐξ ἀρχῆς ἡμῖν παραδοθέντα λόγον ἐπιστρέ-
ψωμεν, νήφοντες πρὸς τὰς εὐχὰς καὶ προσκαρ-
τεροῦντες νηστείαις, δεήσεσιν, αἰτούμενοι τὸν
παντεπόπτην θεόν, μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς
πειρασμόν, καθὼς εἶπεν ὁ κύριος· τὸ μὲν πνεῦμα

πρόθυμον. ἡ δὲ σὰρξ ἀσθενής. ἀδιαλείπτως οὖν
προσκαρτερῶμεν τῇ ἐλπίδι ἡμῶν. καὶ τῷ ἀρρα-
βῶνι τῆς δικαιοσύνης ἡμῶν. ὅς ἐστι χριστὸς ἰησοῦς.
ὃς ἀνήνεγκεν ἡμῶν τὰς ἁμαρτίας τῷ ἰδίῳ σώμα-
τι ἐπὶ τὸ ξύλον. ὃς ἁμαρτίαν οὐκ ἐποίησεν. οὐδὲ εὑ-
ρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, ἀλλὰ δι' ἡμᾶς
ἵνα ζήσωμεν ἐν αὐτῷ. πάντα ὑπέμεινε. μιμηταὶ
οὖν γενώμεθα τῆς ὑπομονῆς. καὶ ἐὰν πάσχωμεν
διὰ τὸ ὄνομα αὐτοῦ. δοξάζωμεν αὐτόν. τοῦτον γὰρ
ἡμῖν τὸν ὑπογραμμὸν ἔθηκε δι' ἑαυτοῦ. καὶ ἡμᾶς
τοῦτο ἐπιστεύσαμεν. παρακαλῶ οὖν πάντας ὑμᾶς
πειθαρχεῖν τῷ λόγῳ τῆς δικαιοσύνης. καὶ ἀσκεῖν
πᾶσαν ὑπομονήν. ἣν καὶ εἴδετε κατ' ὀφθαλμοὺς
οὐ μόνον ἐν τοῖς μακαρίοις. ἰγνατίῳ καὶ ζωσίμῳ
καὶ ῥούφῳ. ἀλλὰ καὶ ἐν ἄλλοις τοῖς ἐξ ὑμῶν. καὶ
ἐν αὐτῷ παύλῳ. καὶ τοῖς λοιποῖς ἀποστόλοις.
πεπεισμένους ὅτι οὗτοι πάντες. οὐκ εἰς κενὸν
ἔδραμον. ἀλλ' ἐν πίστει καὶ δικαιοσύνῃ. καὶ
ὅτι εἰς τὸν ὀφειλόμενον αὐτοῖς τόπον εἰσὶ παρὰ
τῷ κυρίῳ. ᾧ καὶ συνέπαθον. οὐ γὰρ τὸν νῦν ἠγά-
πησαν αἰῶνα. ἀλλὰ τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα
καὶ δι' ἡμᾶς ὑπὸ τὸν λαὸν τὸν καινὸν ἑτοιμάζων.

Polycarp.9,2 Barn.5,7b

ἀποδείξει ἐπὶ τοῦ γένους αὐτοῦ· ὅτι τὴν ἀνάστασιν αὐτὸς
ποιήσας, κρινεῖ· πέρας γέ τοι διδάσκων τὸν Ἰσραήλ,
καὶ τηλικαῦτα τέρατα καὶ σημεῖα ποιῶν, ἐκή-
ρυξε καὶ ὑπερηγάπησεν αὐτόν· ὅτε δὲ τοὺς ἰδίους
ἀποστόλους, μέλλοντας κηρύσσειν τὸ εὐαγγέλιον αὐτοῦ,
ἐξελέξατο, ὄντας ὑπὲρ πᾶσαν ἁμαρτίαν ἀνομω-
τέρους· ἵνα δείξῃ ὅτι οὐκ ἦλθε καλέσαι δικαίους
ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. τότε ἐφανέρω-
σεν ἑαυτὸν υἱὸν θεοῦ εἶναι· εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκί,
πῶς ἂν ἐσώθησαν οἱ ἄνθρωποι; βλέποντες αὐτὸν
ὅτι τὸν μέλλοντα μὴ εἶναι ἥλιον ἔργον χειρῶν αὐτοῦ
ὑπάρχοντα· βλέποντες οὐκ ἰσχύουσιν εἰς τὰς
ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι· οὐκοῦν ὁ υἱὸς
τοῦ θεοῦ εἰς τοῦτο ἦλθεν ἐν σαρκί, ἵνα τὸ τέλειον
τῶν ἁμαρτιῶν κεφαλαιώσῃ. τοῖς διώξασιν ἐν
θανάτῳ τοὺς προφήτας αὐτοῦ, οὐκοῦν. εἰς
τοῦτο ὑπέμεινε· λέγει γὰρ ὁ θεὸς τὴν πληγὴν τῆς
" σαρκὸς αὐτοῦ, ὅτι ἐξ αὐτῶν· ὅταν πατάξω τὸν
" ποιμένα, τότε σκορπισθήσονται τὰ πρόβατα
" τῆς ποίμνης· αὐτὸς ἠθέλησεν οὕτω παθεῖν· ἔδει
γὰρ ἵνα ἐπὶ ξύλου πάθῃ· λέγει γὰρ ὁ προφητεύων
" ἐπ᾽ αὐτῷ· φεῖσαί μου τῆς ψυχῆς ἀπὸ ῥομφαίας

καὶ ἐθήλωσόν μου τὰς σάρκας. ὅτι πονηρευομένων
συναγωγαὶ ἐπανέστησάν μοι. καὶ πάλιν λέγει. ἰδοὺ
τέθεικά μου τὸν νῶτον εἰς μάστιγας. καὶ τὰς σια-
γόνας εἰς ῥαπίσματα. τὸ δὲ πρόσωπόν μου
ἔθηκα ὡς στερεὰν πέτραν. ὅτε οὖν ἐποίησε τὴν
ἐντολήν, τί λέγει. τίς ὁ κρινόμενός μοι; ἀντιστήτω
μοι. ἢ τίς ὁ δικαζόμενός μοι. ἐγγισάτω τῷ παι-
δὶ κυρίου. οὐαὶ ὑμῖν, ὅτι πάντες ὑμεῖς παλαιω-
θήσεσθε ὡς ἱμάτιον. καὶ σὴς καταφάγεται ὑμᾶς.
καὶ πάλιν λέγει ὁ προφήτης. ἐπεὶ ὡς λίθος ἰσχυρὸς
ἐτέθη εἰς συντριβήν. ἰδοὺ ἐμβαλῶ εἰς τὰ θεμέ-
λια σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν ἀκρογωνι-
αῖον ἔντιμον. εἶτα τί λέγει; καὶ ὃς ἐλπίσει ἐπ' αὐτὸν
ζήσεται εἰς τὸν αἰῶνα. ἐπὶ λίθον οὖν ἡμῶν ἡ ἐλ-
πίς; μὴ γένοιτο. ἀλλ' ἐπεὶ ἐν ἰσχύϊ ἔθηκε τὴν
σάρκα αὐτοῦ ὁ κύριος. λέγει γάρ. καὶ ἔθηκέ με ὡς στερε-
ὰν πέτραν. λέγει δὲ πάλιν ὁ προφήτης. λίθον
ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγε-
νήθη εἰς κεφαλὴν γωνίας. καὶ πάλιν λέγει. αὕτη
ἐστὶν ἡ ἡμέρα ἡ μεγάλη καὶ θαυμαστή, ἣν ἐποίη-
σεν ὁ κύριος. ἁπλούστερον ὑμῖν γράφω, ἵνα συνιῆ-
τε. ἐγὼ περίψημα τῆς ἀγάπης ὑμῶν. τί οὖν

λέγει πάλιν ὁ προφήτης· περιέσχε με συναγωγὴ
πονηρευομένων· ἐκύκλωσάν με ὡσεὶ μέλισσαι
κηρίον. καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
ἐν σαρκὶ οὖν αὐτοῦ μέλλοντος φανεροῦσθαι καὶ πά-
σχειν, προεφανερώθη τὸ πάθος. λέγει γὰρ ὁ προφή-
της ἐπὶ τὸν ἰσλ. οὐαὶ τῇ ψυχῇ αὐτῶν ὅτι βεβού-
λευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες·
δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστί·
λέγει δὲ καὶ μωσῆς αὐτοῖς· ἰδοὺ τάδε λέγει κς
ὁ θεός· εἰσέλθατε εἰς τὴν γῆν τὴν ἀγαθὴν ἣν
ὤμοσε κύριος τῷ ἀβραάμ, καὶ ἰσαάκ, καὶ ἰα-
κώβ, καὶ κατακληρονομήσατε αὐτήν, γῆν ῥέουσαν
γάλα καὶ μέλι· τί λέγει ἡ γνῶσις· μάθετε. ἐλπί-
σατε ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ὑμῖν
ἰησοῦν. ἄνθρωπος γὰρ γῆ ἐστὶ πάσχουσα· ἀπὸ προσώ-
που γὰρ τῆς γῆς ἡ πλάσις τοῦ ἀδὰμ ἐγένετο. τί
οὖν λέγει τὴν γῆν τὴν ἀγαθὴν τὴν ῥέουσαν γάλα
καὶ μέλι· εὐλογητὸς ὁ κύριος ἡμῶν, ὁ σοφίαν καὶ
νοῦν θέμενος ἐν ἡμῖν τῶν κρυφίων αὐτοῦ. λέγει
γὰρ ὁ προφήτης· παραβολὴν κυρίου τίς νοήσει,
εἰ μὴ σοφὸς καὶ ἐπιστήμων, καὶ ἀγαπῶν τὸν κύριον
αὐτοῦ. ἐπεὶ οὖν ἀνακαινίσας ἡμᾶς ἐν τῇ ἀφέσει

τῶν ἁμαρτιῶν, ἐποίησεν ἡμᾶς ἄλλον τύπον ὡς παι-
δίων ἔχειν τὴν ψυχήν· ὡς ἂν δὲ ἀναπλασσομένους
αὐτοὺς ἡμᾶς· λέγει γὰρ ἡ γραφὴ περὶ ἡμῶν ὡς λέγει
„ τῷ υἱῷ· ποιήσωμεν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν
„ ἡμῶν τὸν ἄνθρωπον· καὶ ἀρχέτωσαν τῶν θηρί-
„ των τῆς γῆς. καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ· καὶ τῶν
„ ἰχθύων τῆς θαλάσσης· καὶ εἶπε κύριος ἰδὼν τὸ
„ καλὸν πλάσμα ἀνθρώπου· αὐξάνεσθε· καὶ πλη-
„ θύνεσθε· καὶ πληρώσατε τὴν γῆν. ταῦτα πρὸς
τὸν υἱόν. πάλιν σοι ἐπιδείξω πῶς πρὸς ἡμᾶς
ἐπ' ἐσχάτων ἐποίησε· λέγει κύριος· ἰδοὺ ποιήσω
τὰ ἔσχατα ὡς τὰ πρῶτα· εἰς τοῦτο οὖν ἐκήρυ-
„ ξεν ὁ προφήτης· εἰσέλθατε εἰς γῆν ῥέουσαν γάλα
„ καὶ μέλι, καὶ κατακυριεύσατε αὐτῆς. ἴδε οὖν
ἡμεῖς ἀναπεπλάσμεθα· καθὼς πάλιν ἐν ἑτέ-
„ ρῳ προφήτῃ λέγει· ἰδοὺ λέγει κύριος· ἐξελῶ τούτων
τουτέστιν ὧν προέβλεπε τὸ πνεῦμα κυρίου·
„ τὰς λιθίνας καρδίας, καὶ ἐμβαλῶ σαρκίνας αὐτοῖς·
ὅτι ἤμελλεν ἐν σαρκὶ φανεροῦσθαι, καὶ ἐν ἡμῖν
κατοικεῖν· ναὸς γὰρ ἅγιος ἀδελφοί μου τῷ κυρίῳ
τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας· λέγει γὰρ πάλιν
„ κύριος· καὶ ἐν τίνι ὀφθήσομαι τῷ κυρίῳ θεῷ μου

„ καὶ δοξασθήσομαι. λέγει ἐξομολογήσομαί σοι ἐν
„ ἐκκλησίᾳ ἐν μέσῳ ἀδελφῶν μου· καὶ ψαλῶ σοι
„ ἀνὰ μέσον ἐκκλησίας ἁγίων. οὐκοῦν ἡμεῖς ἐσ-
μὲν οὓς εἰσήγαγεν εἰς τὴν γῆν τὴν ἀγαθήν. τί οὖν
τὸ γάλα καὶ μέλι· ὅτι πρῶτον τὸ παιδίον μέλιτι, εἶτα
γάλακτι ζωοποιεῖται· οὕτως καὶ ἡμεῖς, τῇ πίστει τῆς
ἐπαγγελίας. καὶ τῷ λόγῳ ζωοποιούμενοι. ζήσομεν
κατακυριεύοντες τῆς γῆς. προειρήκαμεν δὲ ἐπάνω.
ὅτι αὐξανέσθωσαν καὶ ἀρχέτωσαν τῶν ἰχθύων.
τίς οὖν ὁ δυνάμενος νῦν ἄρχειν θηρίων ἢ ἰχθύων,
ἢ πετεινῶν τοῦ οὐρανοῦ· αἰσθάνεσθαι γὰρ ὀφείλο-
μεν· ὅτι τὸ ἄρχειν, ἐξουσίας ἐστίν· ἵνα τις ἐπιτάξας,
κυριεύσῃ· εἰ οὖν οὐ γίνεται τοῦτο νῦν, ἄρα ἡμῖν
εἴρηκε· πότε; ὅταν καὶ αὐτοὶ τελειωθῶμεν κλη-
ρονόμοι τῆς διαθήκης κυρίου γενέσθαι· οὐκοῦν
νοεῖτε τέκνα εὐφροσύνης· ὅτι πάντα ὁ καλὸς
κύριος προεφανέρωσεν ἡμῖν ἵνα γνῶμεν ᾧ κατὰ
πάντα εὐχαριστοῦντες, ὀφείλομεν αἰνεῖν· εἰ οὖν
ὁ υἱὸς τοῦ θεοῦ ὢν κύριος. καὶ μέλλων κρίνειν ζῶν-
τας καὶ νεκρούς, ἔπαθεν ἵνα ἡ πληγὴ αὐτοῦ ζωο-
ποιήσῃ ἡμᾶς· πιστεύσωμεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ
οὐκ ἠδύνατο παθεῖν, εἰ μὴ δι᾽ ἡμᾶς· ἀλλὰ καὶ σταυρωθεὶς

ἐποτίζετο ὄξει καὶ χολῇ. ἀκούσατε πῶς περὶ τούτου
πεφανερώκασιν οἱ ἱερεῖς τοῦ λαοῦ· γεγραμμένης ἐντο-
λῆς αὐτοῦ· ὃς ἂν μὴ νηστεύσῃ τὴν νηστείαν, θανάτῳ
\+ ἐξολοθρευθήσεται, ἐνετείλατο κύριος· ἐπεὶ καὶ
αὐτὸς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν ἤμελλε τὸ σκεῦ-
ος τοῦ πνεύματος προσφέρειν θυσίαν· ἵνα καὶ
ὁ τύπος ὁ γενόμενος ἐπὶ Ἰσαὰκ τοῦ προσενεχθέν-
τος ἐπὶ τὸ θυσιαστήριον τελεσθῇ. τί οὖν λέγει ἐν τῷ
» προφήτῃ; καὶ φαγέτωσαν ἐκ τοῦ τράγου τοῦ προσ-
» φερομένου τῇ νηστείᾳ ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν.
» προσέχετε ἀκριβῶς· καὶ φαγέτωσαν οἱ ἱερεῖς μόνοι
» τὸ ἔντερον ἄπλυτον μετὰ ὄξους. πρὸς
τί· ἐπειδὴ ἐμὲ ὑπὲρ ἁμαρτιῶν μέλλοντα τοῦ λαοῦ
τοῦ καινοῦ προσφέρειν τὴν σάρκα μου· μέλλετε
ποτίζειν χολὴν μετὰ ὄξους, φάγετε ὑμεῖς μόνοι
τοῦ λαοῦ νηστεύοντος καὶ κοπτομένου ἐπὶ σάκκου
καὶ σποδοῦ· ἵνα δείξῃ ὅτι δεῖ αὐτὸν παθεῖν ὑπ'
αὐτῶν. πῶς οὖν ἐνετείλατο; προσέχετε· λάβετε
» β' τράγους καλοὺς καὶ ὁμοίους, καὶ προσενέγ-
» κατε. καὶ λαβέτω ὁ ἱερεὺς τὸν ἕνα εἰς ὁλοκαύτω-
» μα ὑπὲρ ἁμαρτιῶν· τὸν δὲ ἕνα τί ποιήσουσιν;
» ἐπικατάρατος φησὶν ὁ εἷς. προσέχετε πῶς ὁ τύπος

τοῦ Ἰησοῦ φανεροῦται· καὶ ἐμπτύσατε πάντες καὶ
κατακεντήσατε· καὶ περίθετε τὸ ἔριον τὸ κόκκι-
νον περὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ οὕτως εἰς ἔρη-
μον βληθήτω· καὶ ὅταν γένηται οὕτως, ἄγει ὁ βαστά-
ζων τὸν τράγον εἰς τὴν ἔρημον, καὶ ἀφαιρεῖ τὸ ἔριον.
καὶ ἐπιτίθησιν αὐτὸ φρύγανον τὸ λεγόμενον ῥαχὴλ
οὗ καὶ τοὺς βλαστοὺς εἰώθαμεν τρώγειν ἐν τῇ
χώρᾳ εὑρίσκοντες· οὕτως μόνης τῆς ῥαχοῦς οἱ
καρποὶ γλυκεῖς εἰσί. τί οὖν καὶ τοῦτο; προσέχετε·
τὸν μὲν ἕνα, ἐπὶ τὸ θυσιαστήριον, τὸν δὲ ἕνα, ἐπικα-
τάρατον· καὶ ὅτι τὸν ἐπικατάρατον ἐστεφανωμ-
ένον; ἐπειδὴ ὄψονται αὐτὸν τότε τῇ ἡμέρᾳ τὸν
ποδήρη ἔχοντα τὸν κόκκινον περὶ τὴν σάρκα,
καὶ ἐροῦσιν· οὐχ οὗτός ἐστιν ὅν ποτε ἡμεῖς ἐσταυρώ-
σαμεν, ἐξουθενήσαντες, καὶ κατακεντήσαντες,
καὶ ἐμπαίξαντες; ἀληθῶς οὗτος ἦν, ὁ τότε λέγων
ἑαυτὸν υἱὸν θεοῦ εἶναι. πῶς γὰρ ὅμοιος εἰς τοῦτο,
ὁμοίους τοὺς τράγους καλοὺς ἴσους· ἵνα ὅταν ἴδωσιν
αὐτὸν τότε ἐρχόμενον, ἐκπλαγήσονται ἐπὶ τῇ ὁμοι-
ότητι τοῦ τράγου· οὐκοῦν ἴδε τὸν τύπον τοῦ μέλ-
λοντος πάσχειν Ἰησοῦ. τί δέ, ὅτι τὸ ἔριον εἰς μέσον
τῶν ἀκανθῶν τιθέασι; τύπος ἐστὶ τοῦ Ἰησοῦ.

Ἰηῦ ἐκκλησίας κείμενος· ἵνα ὃς ἐὰν θέλῃ, τὸ ἔριον
ἄρῃ τὸ κόκκινον, δι' αὐτὸν πολλὰ παθεῖν· διὰ τὸ
εἶναι φοβερὰν τὴν ἄκανθαν· καὶ θλιβέντα κυρι-
εῦσαι· οὕτω φησὶν οἱ θέλοντές με ἰδεῖν, καὶ ἅψα-
σθαί μου τῆς βασιλείας, ὀφείλουσι θλιβέντες
καὶ παθόντες λαβεῖν με· τίνα δὲ δοκεῖτε τύπον εἶναι
ἐντέταλται τῷ Ἰσλ προσφέρειν δάμαλιν τοὺς
ἄνδρας, ἐν οἷς ἁμαρτίαι τέλειαι, καὶ σφάξαν-
τας κατακαίειν· καὶ αἴρειν τότε τὴν σποδὸν παι-
δία, καὶ βάλλειν εἰς ἄγγη· καὶ περιτιθέναι τὸ
ἔριον τὸ κόκκινον ἐπὶ ξύλον· ἴδε πάλιν ὁ τοῦ σταυροῦ
τὸ ἔριον τὸ κόκκινον καὶ τὸν ὕσσωπον, καὶ οὕτω
ῥαντίζειν τὰ παιδία καθ' ἕνα τὸν λαόν· ἵνα ἁγνί-
ζωνται ἀπὸ τῶν ἁμαρτιῶν· νοεῖτε πῶς ἐν ἁπλότητι
λέγει ὑμῖν· ὁ μόσχος οὗτος ἐστὶν ὁ Ἰησοῦς· οἱ προσ-
φέροντες ἄνδρες ἁμαρτωλοί· οἱ προσενέγκαν-
τες αὐτὸν ἐπὶ σφαγήν· εἶτα οὐκέτι ἄνδρες· οὐκέ-
τι ἁμαρτωλῶν ἡ δόξα· οἱ δὲ ῥαντίζοντες παῖδες,
εὐαγγελιζόμενοι ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν,
καὶ τὸν ἁγνισμὸν τῆς καρδίας, οἷς ἔδωκε τοῦ
εὐαγγελίου τὴν ἐξουσίαν, οὖσι δεκαδύο εἰς
μαρτύριον τῶν φυλῶν, ὅτι δεκαδύο αἱ φυλαὶ

τοῦ ἰσραὴλ εἰς τὸ κηρύσσειν. ἀλλ' ὅτι δὲ τρεῖς παῖδες
οἱ ῥαντίζοντες εἰς μαρτύριον ἀβραάμ, ἰσαὰκ καὶ
ἰακώβ; ὅτι οὗτοι μεγάλοι τῷ θεῷ. ὅτι δὲ τὸ ἔριον
ἐπὶ τὸ ξύλον. ὅτι ἡ βασιλεία ἰησοῦ ἐπὶ ξύλῳ. διό-
τι οἱ ἐλπίζοντες ἐπ' αὐτὸν ζήσονται εἰς τὸν αἰῶνα.
διατί δὲ ἅμα τὸ ἔριον καὶ τὸ ὕσσωπον; ὅτι ἐν
τῇ βασιλείᾳ αὐτοῦ ἡμέραι ἔσονται πονηραί,
καὶ ῥυπαραί. ἐν αἷς ἡμεῖς σωθησόμεθα. ὅτι καὶ
ἀλγῶν σάρκα διὰ τοῦ ῥύπου τοῦ ὑσσώπου ἰᾶται.
καὶ διὰ τοῦτο οὕτως γενόμενα, ἡμῖν μέν ἐστι φα-
νερά, ἐκείνοις δέ, σκοτεινά, ὅτι οὐκ ἤκουσαν
φωνῆς κυρίου. λέγει γὰρ πάλιν περὶ τῶν ὠτίων.
πῶς περιέτεμεν ἡμῶν καὶ τὴν καρδίαν. λέγει
» ὁ κύριος ἐν τῷ προφήτῃ· εἰς ἀκοὴν ὠτίου ὑπήκου-
» σάν μου. καὶ πάλιν λέγει· ἀκοῇ ἀκούσονται οἱ
» πόρρωθεν· ἃ ἐποίησα γνώσονται. καὶ περιτμη-
» θήσεσθε λέγει κύριος τὰς καρδίας ὑμῶν. καὶ
» πάλιν λέγει· ἄκουε ἰσραήλ, ὅτι τάδε λέγει κύριος ὁ θεός σου.
» καὶ πάλιν τὸ πνεῦμα κυρίου προφητεύει· τίς
» ἐστιν ὁ θέλων ζῆσαι εἰς τὸν αἰῶνα; ἀκοῇ ἀκουσά-
» τω τῆς φωνῆς τοῦ παιδός μου. καὶ πάλιν λέγει·
» ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν.

,, ταῦτα εἰς μαρτύριον. καὶ πάλιν λέγει· ἀκούσατε
,, τέκνα τῆς φωνῆς βοῶντος ἐν τῇ ἐρήμῳ. οὐκοῦν
περιέτεμεν ἡμῶν τὰς ἀκοάς, ἵνα ἀκούσαντες
λόγον πιστεύσωμεν. ἡ γὰρ περιτομὴ ἐφ᾽ ᾗ πεποί-
θασι κατήργηται. περιτομὴν γὰρ εἴρηκεν οὐ
σαρκὸς γενηθῆναι. ἀλλὰ παρέβησαν· ὅτι ἄγγε-
,, λος πονηρὸς ἐσόφιζεν αὐτούς. λέγει πρὸς αὐτούς·
,, τάδε λέγει κς̄ ὁ θς̄ ὑμῶν· ὧδε εὑρίσκω ἐντολήν
,, μὴ σπείρητε ἐπ᾽ ἀκάνθαις· περιτμήθητε τῷ κῳ̄
,, ὑμῶν. καὶ τί λέγει; καὶ περιτμήθητε τὸ σκληρὸν
,, τῆς καρδίας ὑμῶν. καὶ τὸν τράχηλον ὑμῶν
,, οὐ μὴ σκληρυνεῖτε. πάλιν ἰδοὺ λέγει κύριος· πάντα
,, τὰ ἔθνη ἀπερίτμητα ἀκροβυστίᾳ. ὁ δὲ λαὸς οὗτος
,, ἀπερίτμητος καρδίᾳ. ἀλλ᾽ ἐρεῖς· καὶ μὴν περιτέ-
μνεται ὁ λαὸς εἰς σφραγῖδα. ἀλλὰ καὶ πᾶς Σύρος
καὶ Ἄραψ καὶ πάντες οἱ ἱερεῖς τῶν εἰδώλων.
ἆρα οὖν κἀκεῖνοι ἐκ τῆς διαθήκης αὐτῶν εἰσίν;
ἀλλὰ καὶ οἱ Αἰγύπτιοι ἐν περιτομῇ εἰσί. μάθετε
οὖν τέκνα περὶ πάντων πλουσίως, ὅτι Ἀβραὰμ
ὁ πρῶτος περιτομὴν δοὺς ἐν πνεύματι προ-
βλέψας εἰς τὸν ἰν̄ περιέτεμε. λαβὼν τριῶν
,, γραμμάτων δόγματα. λέγει γάρ· καὶ περιέτεμεν

ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας δέκα καὶ ὀκτὼ
τριακοσίους. τίς οὖν ἡ δοθεῖσα τούτῳ γνῶσις; μάθετε
τοὺς δεκαοκτὼ πρώτους. εἶτα τοὺς τριακοσίους.
τιη τὸ δεκαοκτώ, ἰῶτα. ἦτα ὀκτώ· ἔχεις ἰησοῦν.
ἐπειδὴ ὁ σταυρὸς, ἐν τῷ ταῦ, ἤμελλεν ἔχειν τὴν χάριν.
λέγει καὶ τοὺς τριακοσίους. δηλοῖ οὖν τὸν μὲν ἰη-
σοῦν, ἐν τοῖς δυσὶ γράμμασι· καὶ ἐν ἑνὶ τὸν σταυρόν.
οἶδεν ὁ τὴν ἔμφυτον δωρεὰν τῆς διδαχῆς αὐτοῦ
θέμενος ἐν ἡμῖν. οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐ-
μοῦ λόγον· ἀλλ' οἶδα ὅτι ἄξιοι ἐστὲ ὑμεῖς. ὅτι δὲ
" μωσῆς εἴρηκεν, οὐ φάγεσθε χοῖρον, οὐδὲ ἀετόν. οὐδὲ
" ὀξύπτερον. οὐδὲ κόρακα, οὔτε πάντα ἰχθὺν, ὃ οὐκ ἔ- πᾶν
" χει λεπίδα ἐν αὐτῷ. τρία ἔλαβεν ἐν τῇ συνέσει
δόγματα. πέρας γέ τοι λέγει αὐτοῖς ἐν τῷ δευτερο-
" νομίῳ. καὶ διαθήσομαι πρὸς τὸν λαόν μου τοῦτον τὰ
" δικαιώματά μου. ἄρα οὐκ ἔστιν ἐντολὴ θεοῦ τὸ
μὴ τρώγειν. μωσῆς δὲ ἐν πνεύματι ἐλάλησεν.
τὸ οὖν χοίρειον πρὸς τοῦτο εἴρηκεν· οὐ μὴ κολληθή-
" σῃ φησὶν ἀνθρώποις τοιούτοις, οἵτινες ὅμοιοι εἰσὶ
" χοίροις. ὅταν γὰρ σπαταλῶσιν, ἐπιλανθάνονται τοῦ
" κυρίου ἑαυτῶν. ὅταν δὲ ὑστερηθῶσι, ἐπιγινώσκουσι
τὸν κύριον. καὶ ὁ χοῖρος ὅταν τρώγῃ, οὐκ οἶδε τὸν

κύριον. ὅταν δὲ πεινάσῃ, κραυγάζει· καὶ λαβὼν
πάλιν σιωπᾷ. οὐδὲ μὴ φάγῃς φησὶ τὸν ἀετόν, οὐδὲ
τὸν ὀξύπτερον, οὐδὲ τὸν ἰκτῖνα· οὐδὲ τὸν κόρακα·
οὐ μὴ φησὶ κολληθήσῃ ἀνθρώποις τοιούτοις. οἵτι-
νες οὐκ οἴδασι διὰ κόπου καὶ ἱδρῶτος πορίζειν
ἑαυτοῖς τὴν τροφήν· ἀλλὰ ἁρπάζουσι τὰ ἀλλό-
τρια ἐν ἀνομίᾳ αὐτῶν· καὶ ἐπιτηροῦσιν ὡς ἐν
ἀκεραιοσύνῃ περιπατοῦντες· καὶ καθήμενα
ἀργὰ ταῦτα ἐκζητεῖ πῶς ἀλλοτρίας σάρκας κα-
φάγῃ ὄντα λοιμὰ τῇ πονηρίᾳ αὐτῶν· καὶ οὐ μὴ φάγῃς
φησὶ σμύραιναν, οὐδὲ πολύποδα, οὐδὲ σηπίαν·
οὐ μὴ φησὶν ὁμοιωθήσῃ κολλώμενος ἀνθρώποις τοι-
ούτοις. οἵτινες εἰς τέλος εἰσὶν ἀσεβεῖς καὶ κεκρι-
μένοι τῷ θανάτῳ, ὡς καὶ ταῦτα τὰ ἰχθύδια μόνα
ἐπικατάρατα, ἐν τῷ βυθῷ νήχεται μὴ κολυμβῶν-
τα ὡς τὰ λοιπά, ἀλλ' ἐν τῇ γῇ κάτω τοῦ βυθοῦ κατοι-
κεῖ· ἀλλὰ καὶ τὸν δασύποδα οὐ φάγῃ φησί· πρὸς τί;
οὐ μὴ γένηται παιδοφθόρος· οὐδὲ ὁμοιωθήσῃ τοῖς
τοιούτοις, ὅτι ὁ λαγωὸς κατ' ἐνιαυτὸν πλεονεκτεῖ
τὴν ἀφόδευσιν· ὅσα γὰρ ἔτη ζῇ, τοσαύτας ἔχει
τρύπας· ἀλλ' οὐδὲ τὴν ὕαιναν φάγῃ· οὐ μὴ φησὶν
γένῃ μοιχός, οὐδὲ φθορεύς, οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιού-τοις

πρὸς τί; τοῦτο γὰρ τὸ ζῶον· παρ᾽ ἐνιαυτὸν ἀλλάσσει τὴν
φύσιν· καὶ ποτὲ μὲν, ἄρρεν· ποτὲ δὲ θῆλυ γίνεται· ἀλλὰ
καὶ τὴν γαλῆν ἐμίσησε καλῶς· οὐ μὴ γάρ φησιν ὁμοιω-
θήσῃ τοῖς τοιούτοις. οἵους ἀκούομεν ἀνομίαν ποιοῦντας
τῷ στόματι δι᾽ ἀκαθαρσίαν· οὐδὲ κολληθήσῃ ταῖς
ἀκαθάρτοις ταῖς τὴν ἀνομίαν ποιούσαις τῷ στόματι·
τὸ γὰρ ζῶον τοῦτο, τῷ στόματι κύει· περὶ τῶν βρωμάτων
μὲν οὖν Μωσῆς τρία δόγματα ἐν πνεύματι ἐλά-
λησεν· οἱ δὲ κατ᾽ ἐπιθυμίαν τῆς σαρκὸς, ὡς περὶ
βρώματος προσεδέξαντο· λαμβάνει δὲ τριῶν δογ-
μάτων γνῶσιν Δαβὶδ καὶ λέγει ὁμοίως· μακάριος ἀνὴρ
ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. καθὼς οἱ ἰχθύες
πορεύονται ἐν σκότει εἰς τὰ βάθη· καὶ ἐν ὁδῷ ἁμαρ-
τωλῶν οὐκ ἔστη· καθὼς οἱ δοκοῦντες φοβεῖσθαι τὸν κύριον
ἁμαρτάνουσιν ὡς ὁ χοῖρος· καὶ ἐπὶ καθέδραν λοιμῶν
οὐκ ἐκάθισε· καθὼς τὰ πετεινὰ τὰ καθήμενα εἰς
ἁρπαγήν· ἔχετε τελείως καὶ περὶ τῆς γνώσεως·
ἀλλ᾽ εἶπε Μωσῆς, φάγεσθε πᾶν διχηλοῦν, καὶ μη-
ρυκώμενον. τί λέγει; ὅτι τὴν τροφὴν λαμβάνων,
οἶδε τὸν τρέφοντα αὐτόν· καὶ ἐπ᾽ αὐτῷ ἀναπαυό-
μενος, εὐφραίνεσθαι δοκεῖ· καλῶς εἶπε βλέπων τὴν
ἐντολήν· τί οὖν λέγει· κολλᾶσθε μετὰ τῶν φοβουμένων

τοῦ κυρίου. μετὰ τῶν μελετώντων ὃ ἔλαβον διάσταλ-
μα ῥήματος ἐν τῇ καρδίᾳ. μετὰ τῶν λαλούντων τὰ
δικαιώματα κυρίου, καὶ τηρούντων. μετὰ τῶν εἰδό-
των ὅτι ἡ μελέτη ἔργον ἐστὶν εὐφροσύνης. καὶ μηρυ-
κωμένων τὸν λόγον κυρίου. τί δὲ τὸ διχηλοῦν; ὅτι ὁ
δίκαιος καὶ ἐν τούτῳ τῷ κόσμῳ περιπατεῖ, καὶ
τὸν ἅγιον αἰῶνα ἐκδέχεται. βλέπετε πῶς ἐνομο-
θέτησε μωσῆς καλῶς. ἀλλὰ πόθεν ἐκείνοις ταῦτα
νοῆσαι, ἢ συνιέναι. ἡμᾶς οὖν δικαίως νοήσαν-
τες τὰς ἐντολάς, λαλοῦμεν ὡς ἠθέλησε κύριος.
διὰ τοῦτο περιέτεμε τὰς ἀκοὰς ἡμῶν. καὶ τὰς
καρδίας· ἵνα συνιῶμεν ταῦτα. ζητήσωμεν δὲ εἰ ἐμέ-
λησε τῷ κυρίῳ προφανερῶσαι περὶ τοῦ ὕδατος
καὶ τοῦ σταυροῦ. περὶ μὲν τοῦ ὕδατος, γέγραπται ἐπὶ τ(ὸν)
ἰσλ. πῶς τὸ βάπτισμα τὸ φέρον εἰς ἄφεσιν ἁμαρ-
τιῶν, οὐ μὴ προσδέξονται· ἀλλ᾽ ἑαυτοῖς οἰκοδομή-
» σουσιν. λέγει οὖν ὁ προφήτης· ἔκστηθι οὐρανὲ ἐπὶ
» τούτῳ· φριξάτω ἡ γῆ, ὅτι δύο μεγάλα καὶ πονηρὰ
» ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλειπον πηγὴν
» ζῶσαν, καὶ ἑαυτοῖς ὤρυξαν λάκκους συντετριμμένους.
» μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος τὸ ἅγιόν μου σινᾶ·
» ἔσεσθε γὰρ ὡς πετεινοῦ νεοσσοὶ ἀνιπτάμενοι νεοσσιᾶς

ἀφηρημένης· καὶ πάλιν λέγει ὁ προφήτης· ἰδοὺ πορεύ-
σομαι ἔμπροσθέν σου καὶ ὄρη ὁμαλιῶ. καὶ θύρας
χαλκᾶς συντρίψω· καὶ μοχλοὺς σιδηροῦς συν-
θλάσω· καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς ἀπο-
κρύφους ἀοράτους· ἵνα γνῶσιν ὅτι κύριος ὁ θεός·
καὶ κατοικήσεις ἐν ὑψηλῷ σπηλαίῳ πέτρας
ἰσχυρᾶς· εἶτα τί λέγει ἐν τῷ υἱῷ· τὸ ὕδωρ αὐτοῦ πι-
στόν· βασιλέα μετὰ δόξης ὄψεσθε· καὶ ἡ ψυχὴ ὑμῶν
μελετήσει φόβον κυρίου· καὶ πάλιν ἐν ἄλλῳ προφή-
τῃ λέγει· ἔσται ὁ ταῦτα ποιῶν, ὡς τὸ ξύλον τὸ πεφυ-
τευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν
καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ· καὶ τὸ φύλλον
αὐτοῦ οὐκ ἀπορρυήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ κα-
τευοδωθήσεται· οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως·
ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώ-
που τῆς γῆς· διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν
κρίσει· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι
γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν
ἀπολεῖται· αἰσθάνεσθε πῶς τὸ ὕδωρ καὶ τὸν σταυρὸν
ἐπὶ τὸ αὐτὸ ὥρισε· τοῦτο γὰρ λέγει· μακάριοι οἱ ἐπὶ
τὸν σταυρὸν ἐλπίσαντες· κατέβησαν εἰς τὸ ὕδωρ· ὅτι
τὸν μὲν μισθὸν λέγει ἐν καιρῷ αὐτοῦ· τότε φησὶν ἀπο-
δώσω

,, καὶ τὸ φύλλον οὐκ ἀπορρυήσεται· τοῦτο λέγει
,, ὅτι πᾶν ῥῆμα ὃ ἐὰν ἐξέλθῃ ἐξ ὑμῶν διὰ τοῦ στόματος
ἐν πίστει καὶ ἀγάπῃ ἔσται εἰς ἐπιστροφὴν καὶ ἐλπί-
δα πολλοῖς. πάλιν ἕτερος προφήτης λέγει· καὶ ἦν
,, ἡ γῆ τοῦ ἰακὼβ ἐπαινουμένη παρὰ πᾶσαν τὴν γῆν.
,, τοῦτο λέγει· τὸ σκεῦος τοῦ πνεύματος αὐτοῦ δοξά-
,, σει. εἶτα τί λέγει; καὶ ἦν ποταμὸς ἕλκων ἐκ δεξιῶν·
,, καὶ ἀνέβαινεν ἐξ αὐτοῦ δένδρα ὡραῖα· καὶ ὃς
,, ἐὰν φάγῃ ἐξ αὐτῶν, ζήσεται εἰς τὸν αἰῶνα. τοῦτο λέγει·
ὅτι ἡμεῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες
ἁμαρτιῶν καὶ ῥύπου· καὶ ἀναβαίνομεν καρποφο-
ροῦντες ἐν τῇ καρδίᾳ τὸν φόβον καὶ τὴν ἐλπίδα
εἰς τὸν ἰησοῦν ἔχοντες ἐν τῷ πνεύματι. καὶ ὃς ἂν φά-
γῃ ἀπὸ τούτων, ζήσεται εἰς τὸν αἰῶνα. τοῦτο λέγει·
ὃς ἄν, φησίν, ἀκούσῃ τούτων λαλουμένων καὶ πι-
στεύσῃ, ζήσεται εἰς τὸν αἰῶνα. ὁμοίως πάλιν περὶ
τοῦ σταυροῦ ὁρίζει ἐν ἄλλῳ προφήτῃ λέγοντι· καὶ πότε
,, ταῦτα συντελεσθήσεται; λέγει κύριος· ὅταν ξύλον
,, κλιθῇ καὶ ἀναστῇ· καὶ ὅταν ἐκ ξύλου αἷμα στάξῃ.
ἔχεις πάλιν περὶ τοῦ σταυροῦ, καὶ τοῦ σταυροῦσθαι μέλλοντος.
λέγει δὲ πάλιν ἐν τῷ μωσῇ πολεμουμένου τοῦ ἰσραὴλ
ὑπὸ τῶν ἀλλοφύλων. καὶ ἵνα ὑπομνήσῃ αὐτοὺς

πολεμουμένους ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν παρε-
δόθησαν εἰς θάνατον. λέγει εἰς τὴν καρδίαν μωσέως
τὸ πνεῦμα, ἵνα ποιήσῃ τύπον σταυροῦ, καὶ τοῦ μέλλον-
τος πάσχειν· ὅτι ἐὰν μὴ ἐλπίσωσιν ἐπ᾽ αὐτῷ, εἰς τὸν
αἰῶνα πολεμηθήσονται· τίθησιν οὖν μωσῆς ἓν
ἐφ᾽ ἓν ὅπλον ἐν μέσῳ τῆς πυγμῆς· καὶ σταθεὶς
ὑψηλότερος πάντων, ἐξέτεινε τὰς χεῖρας. καὶ οὕτως
πάλιν ἐνίκα ὁ ἰσραήλ· εἶτα ὁπόταν πάλιν καθεῖλεν,
πάλιν ἐθανατοῦντο· πρὸς τί; ἵνα γνῶσιν, ὅτι οὐ
δύνανται σωθῆναι. ἐὰν μὴ ἐπ᾽ αὐτῷ ἐλπίσωσι· καὶ
ἐν ἑτέρῳ προφήτῃ λέγει· ὅλην τὴν ἡμέραν ἐξεπέ-
τασα πρὸς λαὸν ἀπειθοῦντα τὰς χεῖράς μου, καὶ
ἀντιλέγοντα ὁδῷ δικαίᾳ μου· καὶ πάλιν μωσῆς
ποιεῖ τύπον τοῦ ἰησοῦ ὅτι δεῖ αὐτὸν παθεῖν· καὶ αὐτὸς
ζωοποιήσουσιν, ὃν δόξουσιν ἀπολωλεκέναι ἐν
σημείῳ πίπτοντος τοῦ ἰσραήλ· ἐποίησε γὰρ πάντα ὄφιν
δάκνειν αὐτούς, καὶ ἀπέθνησκον, ἐπειδὴ ἡ παρα-
βασις διὰ τοῦ ὄφεως ἐν εὔα γέγονεν· ἵνα ἐλέγξῃ
αὐτοὺς ὅτι διὰ τὴν παράβασιν αὐτῶν, ἐν θλίψει
θανάτου παραδοθήσονται· πέρας γέ τοι αὐτὸς μω-
σῆς ἐντειλάμενος· οὐκ ἔσται ὑμῖν· οὔτε γλυπτὸν.
οὔτε χωνευτὸν εἰς θεὸν ὑμῖν· ποιεῖ ἵνα τύπον τοῦ ἰησοῦ

δείξῃ· ποίησον Μωσῆς χαλκοῦν ὄφιν· καὶ ἀνέθηκεν
ἐνδόξως· καὶ κηρύγματι ἐκάλει τὸν λαόν· ἐλθόντες
οὖν ἐπὶ τὸ αὐτό, ἐδέοντο Μωσέως ἵνα περὶ αὐτῶν
ἀνενέγκῃ. δεόμενος περὶ τῆς ἰάσεως αὐτῶν· εἶπε
δὲ πρὸς αὐτοὺς Μωσῆς· ὅταν φησὶ δηχθῇ τις
„ ὑμῶν, ἐλθέτω ἐπὶ τὸν ὄφιν τὸν ἐπὶ τοῦ ξύλου ἐπι-
„ κείμενον· καὶ ἐλπισάτω πιστεύσας. ὅτι νεκρὸς
„ ὤν, δύναται ζωοποιῆσαι. καὶ παραχρῆμα σω-
θήσεται· καὶ οὕτως ἐποίουν· ἔχεις καὶ ἐν τούτῳ
τὴν δόξαν τοῦ Ἰησοῦ· ὅτι ἐν αὐτῷ πάντα καὶ εἰς
αὐτόν. τί λέγει πάλιν Μωσῆς τῷ Ἰησοῦ τῷ τοῦ Ναυῆ
υἱῷ· ἐπιθεὶς αὐτῷ τοῦτο ὄνομα ὄντι προφήτῃ,
ἵνα μόνον ἀκούσῃ πᾶς ὁ λαός. ὅτι πάντα ὁ πα-
ἰσ. υἱοῦ τὴρ φανεροῖ περὶ τοῦ υἱοῦ Ἰησοῦ υἱῷ Ναυῆ· καὶ ἐπιθεὶς
τοῦτο ὄνομα ὁπότε ἔπεμψε κατασκοπεύοντα τὴν
„ γῆν· λάβε βιβλίον εἰς τὰς χεῖράς σου· καὶ γράψον
„ ἃ λέγει κύριος· ὅτι ἐκριζώσει ἐκκόψει πάντα τὸν
τοῦ „ οἶκον Ἀμαλὴκ ὁ υἱὸς τοῦ θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμε-
ρῶν. ἴδε πάλιν Ἰησοῦς οὐχ ὁ υἱὸς ἀνθρώπου, ἀλλ' υἱὸς
τοῦ θεοῦ. τύπῳ δὲ ἐν σαρκὶ φανερωθείς. ἐπεὶ οὖν
μέλλουσι λέγειν ὅτι ὁ Χριστὸς υἱός ἐστι Δαυίδ. φοβού-
μενος καὶ συνιῶν τὴν πλάνην τῶν ἁμαρτωλῶν

" λέγει· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν
" μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου· καὶ πάλιν λέγει οὕτως· καὶ πάλιν λέγει οὕτως
" ἠσαΐας· εἶπε κύριος τῷ χριστῷ μου κύρῳ· οὗ ἐκρά-
" τησα τῆς δεξιᾶς αὐτοῦ, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ
" ἔθνη· καὶ ἰσχὺν βασιλέων διαρρήξω· ἴδε πῶς
λέγει δαυῒδ αὐτὸν κύριον καὶ υἱὸν θεοῦ· ἀλλ' ἴδωμεν
εἰ οὗτος ὁ λαὸς κληρονόμος, ἢ ὁ πρῶτος· καὶ ἡ διαθή- λεῖ
κη εἰς ἡμᾶς, ἢ εἰς ἐκείνους· ἀκούσατε νῦν περὶ
" τοῦ λαοῦ τί λέγει ἡ γραφή· ἐδέετο δὲ ἰσαὰκ περὶ
" ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ ὅτι στεῖρα ἦν· καὶ
" συνέλαβεν· εἶτα, καὶ ἐξῆλθε ῥεβέκκα πύθεσθαι
" παρὰ κυρίου, καὶ εἶπε κύριος πρὸς αὐτήν· δύο ἔθνη ἐν
" τῇ γαστρί σου· καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου· καὶ
" λαὸς λαοῦ ὑπερέξει· καὶ ὁ μείζων δουλεύσει τῷ
" ἐλάσσονι· αἰσθάνεσθαι ὀφείλετε· τίς ὁ ἰσαάκ· τίς
ἡ ῥεβέκκα, καὶ ἐπὶ τίνων δέδειχεν, ὅτι μείζων
ὁ λαὸς οὗτος, ἢ ἐκεῖνος· καὶ ἐν ἄλλῃ προφητείᾳ
λέγει φανερώτερον ὁ ἰακὼβ πρὸς τὸν ἰωσὴφ τὸν
" υἱὸν αὐτοῦ λέγων· ἰδοὺ οὐκ ἐστέρησέ με κύριος τοῦ προ-
" σώπου σου· προσάγαγέ μοι τοὺς υἱούς σου ἵνα εὐλογήσω
" αὐτούς· καὶ προσήγαγεν ἐφραὶμ τὸν μανασσῆ

ἤθελεν ἵνα εὐλογηθῇ· ὅτι πρεσβύτερος ἦν. ὁ γὰρ Ἰωσὴφ
προσήγαγεν εἰς τὴν δεξιὰν χεῖρα τοῦ πατρὸς Ἰακώβ·
εἶδεν δὲ Ἰακὼβ τύπον τῷ πνεύματι τοῦ λαοῦ τοῦ με-
ταξύ. καὶ λέγει· καὶ ἐποίησεν Ἰακὼβ ἐναλλὰξ
τὰς χεῖρας αὐτοῦ· καὶ ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν
ἐφραῒμ τοῦ δευτέρου καὶ νεωτέρου· καὶ ηὐλό-
γησεν αὐτόν. καὶ εἶπεν Ἰωσὴφ πρὸς Ἰακώβ· με-
τάθες σου τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν μανασσῆ·
ὅτι πρωτότοκός μου υἱός· καὶ εἶπεν Ἰακὼβ
πρὸς Ἰωσήφ· οἶδα τέκνον οἶδα· ἀλλ' ὁ μείζων δου-
λεύσει τῷ ἐλάττονι· καὶ οὗτος δὲ εὐλογηθήσεται.
βλέπετε ἐπὶ τίνων τέθεικε τὸν λαὸν εἶναι τοῦτον
πρῶτον· καὶ τῆς διαθήκης κληρονόμον. εἰ οὖν
ἔτι καὶ διὰ τοῦ ἀβραὰμ ἐμνήσθη, ἀπέχομεν τὸ
τέλειον τῆς γνώσεως ἡμῶν. τί οὖν λέγει τῷ ἀβραάμ·
ὅτι ἐπίστευσας, ἐτέθη εἰς δικαιοσύνην· ἰδοὺ
τέθεικά σε πατέρα ἐθνῶν τῶν πιστευόντων δι' ἀκρο-
βυστίας τῷ κυρίῳ. ναί, ἀλλὰ τὴν διαθήκην ἣν
ὤμοσε τοῖς πατράσι δοῦναι τῷ λαῷ· εἰ δέδωκε
ζητοῦμεν. δέδωκεν· αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι λα-
βεῖν διὰ τὰς ἁμαρτίας αὐτῶν. λέγει γὰρ ὁ προφή-
της· καὶ ἦν μωσῆς νηστεύων ἐν ὄρει σινᾶ τοῦ λαβ

τὴν διαθήκην κυρίου πρὸς τὸν λαόν, ἡμέρας τεσσα-
ράκοντα, καὶ νύκτας τεσσαράκοντα· καὶ ἔλαβε παρὰ
κυρίου τὰς δύο πλάκας γεγραμμένας τῷ δακτύ-
λῳ τῆς χειρὸς κυρίου ἐν πνεύματι· καὶ λαβὼν
μωσῆς κατέφερε πρὸς τὸν λαὸν δοῦναι· καὶ εἶπε
κύριος πρὸς μωσῆν· μωσῆ, μωσῆ, κατάβηθι τὸ
τάχος, ὅτι ἠνόμησεν ὁ λαός σου· οὓς ἐξήγαγες ἐκ
γῆς αἰγύπτου· καὶ συνῆκε μωσῆς ὅτι ἐποίησαν
πάλιν χωνεύματα, καὶ ἔρριψεν ἐκ τῶν χειρῶν
τὰς πλάκας· καὶ συνετρίβησαν αἱ πλάκες τῆς
διαθήκης κυρίου· μωσῆς μὲν γάρ, ἔλαβεν· αὐτοὶ
δέ, οὐκ ἐγένοντο ἄξιοι· πῶς δὲ ἡμεῖς ἐλάβομεν; μά-
θετε· μωσῆς θεράπων ὤν, ἔλαβεν· αὐτὸς δὲ ὁ κύριος
ἡμῖν ἔδωκεν εἰς λαὸν κληρονομίας· δι' ἡμᾶς ὑπο-
μείνας· ἐφανερώθη δέ ἵνα κἀκεῖνοι τελειωθῶσι
τοῖς ἁμαρτήμασι· καὶ ἡμεῖς διὰ τοῦ κληρονομοῦν-
τος διαθήκην κυρίου ἰησοῦ λάβωμεν· καὶ πάλιν
ὁ προφήτης λέγει· ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν.
τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς
λέγει κύριος ὁ λυτρωσάμενός σε θεός· ὃς εἰς τοῦτο
ἡτοιμάσθη· ἵνα αὐτὸς φανεὶς, τὰς ἤδη δεδαπανημέ-
νας ἡμῶν καρδίας τῷ θανάτῳ καὶ παραδεδο-
μένας

Ἰη(σο)ῦ τ(ῆς) ὀλεθρίας ἀνομίας, λυτρωσάμενος καὶ ἰουδαί-
τοὺς διαθεῖναι ἐν ἡμῖν διαθήκην λόγῳ· γέγρα-
πται γὰρ πῶς αὐτὸν ὁ πατὴρ ἐπήγγελται λυτρωσά-
μενος ἡμᾶς ἐκ τοῦ σκότους ἑτοιμάσαι ἑαυτῷ
λαὸν ἅγιον· λέγει οὖν ὁ προφήτης· ἐγὼ κύριος ὁ
θεός σου ἐκάλεσά σε ἐν δικαιοσύνῃ· καὶ κρα-
τήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε· καὶ ἔδωκά
σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν· ἀνοῖξαι
ὀφθαλμοὺς τυφλῶν· καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν πε-
πεδημένους· ἐξ οἴκου φυλακῆς καθημένους
ἐν σκότει· γινώσκετε οὖν πόθεν ἐλυτρώθημεν·
καὶ πάλιν ὁ προφήτης λέγει· πνεῦμα κυρίου
ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι τα-
πεινοῖς χάριν ἀπέσταλκέ με· ἰάσασθαι τοὺς συν-
τετριμμένους τὴν καρδίαν· κηρύξαι αἰχμα-
λώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν· καὶ
καλέσαι ἐνιαυτὸν κυρίου δεκτόν, καὶ ἡμέραν ἀν-
ταποδόσεως· παρακαλέσαι πάντας τοὺς πεν-
θοῦντας· ἔτι καὶ περὶ τοῦ σαββάτου γέγραπται
ἐν τοῖς δέκα λόγοις ἐν οἷς ἐλάλησεν ἐν τῷ ὄρει
Σινᾶ πρὸς Μωσῆν κατὰ πρόσωπον· καὶ ἁγιά-
ζετε τὸ σάββατον κυρίου χερσὶ καθαραῖς. κ(αὶ)

" καρδίᾳ καθαρᾷ· καὶ ἐν ἑτέρῳ λέγει· ἐὰν φυλάξω-
" σιν οἱ υἱοί μου τὸ σάββατον, τότε ἐπιθήσω τὸ ἔλε-
ός μου ἐπ' αὐτούς· τὸ σάββατον λέγει ἐν ἀρχῇ τῆς
" κτίσεως· καὶ ἐποίησεν ὁ θεὸς ἐν ἓξ ἡμέραις
" τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ συνετέλεσεν ἐν
" τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· καὶ κατέπαυσεν ἐν
" αὐτῇ, καὶ ἡγίασεν αὐτήν· προσέχετε τέκνα τί
λέγει τὸ συνετέλεσεν ἐν ἓξ ἡμέραις· τοῦτο λέγει,
ὅτι συντελεῖ κύριος ἐν ἑξακισχιλίοις τὰ πάντα· ἔτεσι
ἡ γὰρ ἡμέρα παρ' αὐτῷ χίλια ἔτη· αὐτὸς δέ μοι μαρ-
" τυρεῖ λέγων· ἰδοὺ σήμερον ἡμέρα ἔσται ὡς χίλια
" ἔτη· οὐκοῦν τέκνα ἐν ἓξ ἡμέραις ἐν τοῖς ἑξακισ-
χιλίοις ἔτεσι συντελεσθήσεται τὰ πάντα· καὶ κα-
τέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· τοῦτο λέγει ὅταν
ἐλθὼν ὁ υἱὸς αὐτοῦ, καταργήσει τὸν καιρὸν αὐτοῦ·
καὶ κρινεῖ τοὺς ἀσεβεῖς· καὶ ἀλλάξει τὸν ἥλιον·
καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, τότε καλῶς
καταπαύσεται ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· πέρας
γέ τοι λέγει· ἁγιάσεις αὐτὴν χερσὶ καθαραῖς, καὶ
καρδίᾳ καθαρᾷ· εἰ οὖν ἣν ὁ θεὸς ἡμέραν ἡγίασε
νῦν τις δύναται ἁγιάσαι, εἰ μὴ καθαρὸς ὢν τῇ
καρδίᾳ ἐν πᾶσι πεπλανήμεθα· ἴδε οὖν ἄρα

τότε καλῶς καταπαυόμενοι ἁγιάζει αὐτήν, ὅτε
δυνησόμεθα αὐτοί, δίκαια ἀπολαβόντες τὴν
ἐπαγγελίαν, οὐκέτι οὔσης ἀνομίας, γεγονότων δὲ
καινῶν πάντων ὑπὸ κυρίου· τότε δυνησόμεθα
αὐτὴν ἁγιάσαι, αὐτοὶ ἁγιασθέντες πρῶτον. πέρας
γέ τοι λέγει αὐτοῖς· τὰς νεομηνίας ὑμῶν καὶ τὰ
σάββατα ὑμῶν οὐκ ἀνέχομαι. ὁρᾶτε πῶς λέγει·
οὐ τὰ νῦν σάββατα ἐμοὶ δεκτά, ἀλλὰ ὃ πεποίη-
κα· ἐν ᾧ καταπαύσας τὰ πάντα, ἀρχὴν ἡμέρας
ὀγδόης ποιήσω, ὅ ἐστιν ἄλλου κόσμου ἀρχήν. διὸ
καὶ ἄγομεν τὴν ἡμέραν τὴν ὀγδόην εἰς εὐφρο-
σύνην, ἐν ᾗ καὶ ὁ Ἰησοῦς ἀνέστη ἐκ νεκρῶν, καὶ
φανερωθεὶς ἀνέβη εἰς τοὺς οὐρανούς. ἔτι καὶ περὶ
τοῦ ναοῦ ἐρῶ ὑμῖν, πῶς πλανώμενοι οἱ ταλαίπω-
ροι εἰς τὴν οἰκοδομὴν ἤλπισαν, καὶ οὐκ ἐπὶ τὸν θεὸν
αὐτῶν τὸν ποιήσαντα αὐτούς, ὡς ὄντα οἶκον
θεοῦ. σχεδὸν γὰρ ὡς τὰ ἔθνη ἀφιέρωσαν αὐτὸν
ἐν τῷ ναῷ. ἀλλὰ πῶς λέγει κύριος καταργῶν αὐτόν,
μάθετε· τίς ἐμέτρησε τὸν οὐρανὸν σπιθαμῇ, ἢ τὴν
γῆν δρακί; οὐκ ἐγώ; λέγει κύριος· ὁ οὐρανός μοι
θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον
οἶκον οἰκοδομήσετέ μοι, ἢ τίς τόπος τῆς κατα-
παύσεώς μου.

γνῶτε ὅτι ματαία ἡ ἐλπὶς αὐτῶν· πέρας γοῦν πάλιν
›› λέγει· ἰδοὺ οἱ καθελόντες τὸν ναὸν τοῦτον, αὐτοὶ αὐτὸν
›› οἰκοδομήσουσι. γίνεται· διὰ γὰρ τὸ πολεμεῖν αὐτοὺς
καθῃρέθη ὑπὸ τῶν ἐχθρῶν· νῦν καὶ αὐτοὶ οἱ τῶν
ἐχθρῶν ὑπηρέται ἀνοικοδομήσουσιν αὐτόν.
πάλιν ὡς ἤμελλεν ἡ πόλις καὶ ὁ ναὸς καὶ ὁ λαὸς Ἰσλ
παραδίδοσθαι, ἐφανερώθη· λέγει γὰρ ἡ γραφή· καὶ
›› ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν παραδώσει κύριος τὰ
›› πρόβατα τῆς νομῆς, καὶ τὴν μάνδραν καὶ τὸν
›› πύργον αὐτῶν εἰς καταφθοράν· καὶ ἐγένετο καθὰ
ἐλάλησε κς. ζητήσωμεν οὖν εἰ ἔστι ναὸς θεοῦ. ἔστιν
ὅπου αὐτὸς λέγει ποιεῖν καὶ καταρτίζειν· γέγραπ-
›› ται γάρ· καὶ ἔσται τῆς ἑβδομάδος συντελουμένης
›› οἰκοδομηθήσεται ναὸς θεοῦ ἐνδόξως ἐπὶ τῷ ὀνόματι
›› κυρίου. εὑρίσκω οὖν ὅτι ἔστι ναός. πῶς οὖν οἰ-
κοδομηθήσεται ἐπὶ τῷ ὀνόματι κυρίου; μάθετε.
πρὸ τοῦ ἡμᾶς πιστεῦσαι τῷ θεῷ, ἦν ἡμῶν τὸ κατοικη-
τήριον τῆς καρδίας φθαρτὸν καὶ ἀσθενές, ὡς
ἀληθῶς οἰκοδομητὸς ναὸς διὰ χειρός· ὅτι ἦν
πλήρης μὲν εἰδωλολατρείας οἶκος· εἰδωλολατρεία
τῶν οἶκος δαιμονίων, διὰ τὸ ποιεῖν ὅσα ἦν ἐναν-
τία τῷ θεῷ· οἰκοδομηθήσεται δὲ ἐπὶ τῷ ὀνόματι.

κυρίου. προσέχετε ἵνα ὁ ναὸς κυρίου ἔνδοξος οἰκο-
δομηθῇ. πῶς; μάθετε. λαβόντες τὴν ἄφεσιν τῶν
ἁμαρτιῶν καὶ ἐλπίσαντες ἐπὶ τῷ ὀνόματι ἐγενό-
μεθα καινοί, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι. διὸ ἐν
τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ θεὸς κατοικεῖ ἐν
ἡμῖν. πῶς; ὁ λόγος αὐτοῦ τῆς πίστεως. ἡ κλῆσις αὐτοῦ
τῆς ἐπαγγελίας. ἡ σοφία τῶν δικαιωμάτων. αἱ
ἐντολαὶ τῆς διδαχῆς. αὐτὸς ἐν ἡμῖν προφητεύων.
αὐτὸς ἐν ἡμῖν κατοικῶν. τοὺς τῷ θανάτῳ δεδουλω-
μένους. ἀνοίγων ἡμῖν θύρας τοῦ ναοῦ. ὅ ἐστι στόμα.
μετάνοιαν διδοὺς ἡμῖν. εἰσάγει εἰς τὸν ἄφθαρτον ναόν.
ὁ γὰρ ποθῶν σωθῆναι, βλέπει οὐκ εἰς τὸν ἄνθρωπον. ἀλλ' εἰς
τὸν ἐν αὐτῷ ἐνοικοῦντα καὶ λαλοῦντα. ἐπ' αὐτῷ
ἐκπλησσόμενος ἐπὶ τῷ μηδέποτε, μήτε τοῦ λέγοντος
τὰ ῥήματα ἀκηκοέναι ἐκ τοῦ στόματος, μήτε
αὐτός ποτε ἐπιτεθυμηκέναι ἀκούειν. τουτέστι
πνευματικὸς ναὸς οἰκοδομούμενος τῷ κυρίῳ.
ἐφ' ὅσον ἦν ἐν δυνατῷ καὶ ἁπλότητι δηλῶσαι
ὑμῖν. ἐλπίζει μου ἡ ψυχὴ τῇ ἐπιθυμίᾳ μου.
μὴ παραλελοιπέναι με τι τῶν ἀνηκόντων ὑμῖν
εἰς σωτηρίαν ἐνεστώτων. ἐὰν γὰρ περὶ τῶν μελλόντων
γράφω ὑμῖν, οὐ μὴ νοήσητε, διὰ τὸ ἐν παραβολαῖς

ἠθῆ. ταῦτα μὲν οὕτως. μεταβῶμεν δὲ καὶ ἐπὶ ἑτέραν
γνῶσιν καὶ διδαχήν. ὁδοὶ δύο εἰσὶ διδαχῆς καὶ ἐξ-
ουσίας, ἥ τε τοῦ φωτὸς, καὶ ἡ τοῦ σκότους. διαφορὰ
δὲ πολλὴ τῶν δύο ὁδῶν. ἐφ᾽ ἧς μὲν, εἰσὶ τεταγμένοι
φωταγωγοὶ ἄγγελοι τοῦ θεοῦ. ἐφ᾽ ἧς δὲ, ἄγγελοι τοῦ
σατανᾶ. καὶ ὁ μὲν ἐστὶ κύριος ἀπ᾽ αἰώνων καὶ εἰς τοὺς
αἰῶνας. ὁ δὲ, ἄρχων καιροῦ τοῦ νῦν τῆς ἀνομίας. ἡ οὖν
ὁδὸς τοῦ φωτός, ἐστὶν αὕτη. ἐάν τις θέλων ὁδὸν ὁδεύ-
ειν ἐπὶ τὸν ὡρισμένον τόπον, σπεύσει τοῖς ἔργοις αὐτοῦ.
ἔστιν οὖν ἡ δοθεῖσα ἡμῖν γνῶσις τοῦ περιπατεῖν
ἐν αὐτῇ τοιαύτη. ἀγαπήσεις τὸν σε ποιήσαντα. δο-
ξάσεις τὸν σε λυτρωσάμενον ἐκ θανάτου. ἔσῃ
ἁπλοῦς τῇ καρδίᾳ καὶ πλούσιος τῷ πνεύματι.
οὐ κολληθήσῃ μετὰ τῶν πορευομένων ἐν ὁδῷ θα-
νάτου. μισήσεις πᾶν ὃ οὐκ ἀρεστὸν τῷ θεῷ. μισή-
σεις πᾶσαν ὑπόκρισιν. οὐ μὴ ἐγκαταλίπῃς ἐντο-
λὰς κυρίου. οὐχ ὑψώσεις σεαυτόν. ἔσῃ δὲ ταπει-
νόφρων. οὐκ ἀρεῖς ἐπὶ σεαυτὸν δόξαν. οὐ λήψῃ βου-
λὴν πονηρὰν κατὰ τοῦ πλησίον σου. οὐ δώσεις τῇ
ψυχῇ θράσος. οὐ πορνεύσεις. οὐ μοιχεύσεις. οὐ παι-
δοφθορήσεις. οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ
ἐν ἀκαθαρσίᾳ τινῶν. οὐ λήψῃ πρόσωπον ἐλέγξαι

τινὰ ἐπὶ παραπτώματι· ἔσῃ πραΰς· ἔσῃ ἡσύχιος·
ἔσῃ τρέμων τοὺς λόγους οὓς ἤκουσας· οὐ μὴ μνησι-
κακήσῃς τῷ ἀδελφῷ σου· οὐ μὴ διψυχήσῃς πότε-
ρον ἔσται, ἢ οὔ· οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ ὄνομα
κυρίου· ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυ-
χήν σου· οὐ φονεύσεις τέκνον ἐν φθορᾷ· οὐδὲ πάλιν
γεννηθὲν ἀνελεῖς· οὐ μὴ ἄρῃς τὴν χεῖρά σου ἀπὸ
τοῦ υἱοῦ σου, ἢ ἀπὸ τῆς θυγατρός σου· ἀλλ' ἀπὸ νεό-
τητος διδάξεις φόβον κυρίου· οὐ μὴ γένῃ ἐπιθυμῶν
τὰ τοῦ πλησίον σου· οὐδὲ μὴ γένῃ πλεονέκτης· οὐδὲ
κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν· ἀλλὰ
μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ· τὰ συμ-
βαίνοντά σοι ἐνεργήματα, ὡς ἀγαθὰ προσδέξαι·
οὐκ ἔσῃ διγνώμων, οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου
ἐστὶν ἡ διγλωσσία· ὑποταγήσῃ κυρίοις ὡς τύπῳ
θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ· οὐ μὴ ἐπιτάξῃς παι-
δίσκῃ ἢ δούλῳ σου ἐν πικρίᾳ τοῖς ἐπὶ τὸν αὐτὸν
ἐλπίζουσι· μήποτε οὐ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέ-
ροις θεόν, ὅτι ἦλθεν οὐ κατὰ πρόσωπον καλέσαι,
ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασε· κοινωνήσεις ἐν
πᾶσι τῷ πλησίον σου· οὐκ ἐρεῖς ἴδια· εἰ γὰρ ἐν τοῖς
ἀφθάρτοις κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς φθαρτοῖς

οὐκ ἔσῃ πρόγλωσσος· παγὶς γὰρ στόμα θανάτου· ὅσον
δύνασαι ὑπὲρ τῆς ψυχῆς σου ἁγνεύσεις· μὴ γίνου
πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας· πρὸς δὲ
τὸ δοῦναι συσπῶν. ἀγαπήσεις ὡς κόρην ὀφθαλμοῦ
σου πάντα τὸν λαλοῦντα τὸν λόγον τοῦ κυρίου· μνη-
σθήσῃ ἡμέρας κρίσεως νυκτὸς καὶ ἡμέρας· ἐκζη-
τήσεις καθ' ἑκάστην ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων.
ἢ διὰ λόγου κοπιῶν καὶ πορευόμενος εἰς τὸ παρακα-
λέσαι καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ, ἢ
διὰ τῶν χειρῶν σου ἐργάσῃ εἰς λύτρωσιν ἁμαρτιῶν -
σου· οὐ διστάσεις δοῦναι· οὐδὲ διδοὺς γογγύσεις·
παντὶ αἰτοῦντί σε δίδου· γνώσῃ δὲ τίς ὁ τοῦ μισθοῦ
καλὸς ἀνταποδότης· φυλάξεις ἃ παρέλαβες·
μήτε προστιθεὶς, μήτε ἀφαιρῶν· εἰς τέλος μισήσεις
τὸ πονηρόν· κρινεῖς δικαίως· οὐ ποιήσεις σχίσμα·
εἰρηνεύσεις δὲ μαχομένους συνάγων· ἐξομολογήσῃ
ἐπὶ ἁμαρτίαις σου· οὐχ ἥξεις ἐν προσευχῇ σου ἐν
συνειδήσει πονηρᾷ· αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ φωτός·
ἡ δὲ τοῦ μέλανος ὁδός, ἐστὶ σκολιά, καὶ κατάρας
μεστή· ἔστι γὰρ ὁδὸς θανάτου αἰωνίου μετὰ τιμωρίας·
ἐν ᾗ ἐστὶ τὰ ἀπολλύντα τὴν ψυχὴν αὐτῶν· εἰδωλο-
λατρεία, θρασύτης· ὕψος δυνάμεως· ὑπόκρισις·

διπλοκαρδία· μοιχεία· φόνος· ἁρπαγή· ὑπερηφα-
νεία· παράβασις· δόλος· κακία· αὐθάδεια· φαρ-
μακεία· μαγεία· πλεονεξία· ἀφοβία θεοῦ· διῶκ-
ται τῶν ἀγαθῶν· μισοῦντες ἀλήθειαν· ἀγαπῶντες
οὐ γινώσκοντες μισθὸν δικαιοσύνης· οὐ κολλώμενοι
ἀγαθῷ· οὐ κρίσει δικαίᾳ· χήρᾳ καὶ ὀρφανῷ προσέ-
χοντες· ἀγρυπνοῦντες οὐκ εἰς φόβον θεοῦ· ἀλλ' ἐπὶ τὸ
πονηρόν· ὧν μακρὰν καὶ πόρρω πραΰτης καὶ ὑπο-
μονή· ἀγαπῶντες μάταια· διώκοντες ἀνταπόδο-
μα· οὐκ ἐλεοῦντες πτωχόν· οὐ πονοῦντες ἐπὶ κα-
πονουμένῳ· εὐχερεῖς ἐν καταλαλιᾷ· οὐ γινώσκοντες
τὸν ποιήσαντα αὐτούς· φονεῖς τέκνων· φθορεῖς πλά-
σματος θεοῦ· ἀποστρεφόμενοι τὸν ἐνδεόμενον· καὶ
καταπονοῦντες τὸν θλιβόμενον· πλουσίων παράκλη-
τοι· πενήτων ἄνομοι κριταί· πανθαμάρτητοι· καλὸν
οὖν ἐστι μαθόντα τὰ δικαιώματα κυρίου· ὅσα προ-
γέγραπται ἐν τούτοις περιπατεῖν· ὁ γὰρ ταῦτα ποι-
ῶν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ δοξασθήσεται· ὁ ἐκεῖνα
ἐκλεγόμενος, μετὰ τῶν ἔργων αὐτοῦ συναπολεῖται·
διὰ τοῦτο ἀνάστασις· διὰ τοῦτο ἀνταπόδοσις·
ἐρωτῶ τοὺς ὑπερέχοντας· εἴ τινά μου γνώμης ἀγαθῆς
λαμβάνετε συμβουλίαν, ἔχετε εἰς οὓς ἐργάσασθε

μεθ' ἑαυτῶν. μὴ ἐλλείπητε. ἐγγὺς γὰρ ἡ ἡμέρα
ἐν ᾗ συναπολεῖται πάντα τῷ πονηρῷ. ἐγγὺς ὁ κύριος καὶ
ὁ μισθὸς αὐτοῦ. ἔτι καὶ ἔτι ἐρωτῶ ὑμᾶς. ἑαυτῶν γίνε-
σθε νομοθέται ἀγαθοί. ἑαυτῶν μένετε σύμβουλοι
πιστοί. ἄρατε ἐξ ὑμῶν πᾶσαν ὑπόκρισιν. ὁ δὲ θεὸς
ὁ παντὸς τοῦ κόσμου κυριεύων. δῴη ὑμῖν σοφίαν, ἐπι-
στήμην, σύνεσιν, γνῶσιν τῶν δικαιωμάτων αὐτοῦ ἐν
ὑπομονῇ. γίνεσθε δὲ θεοδίδακτοι, ἐκζητοῦντες τί
ζητεῖ κύριος ἀφ' ὑμῶν, καὶ ποιεῖτε, ἵνα σωθῆτε ἐν ἡμέ-
ρᾳ κρίσεως. εἰ δέ τίς ἐστιν ἀγαθοῦ μνεία, μνημονεύε-
τέ μου μελετῶντες ταῦτα. ἵνα καὶ ἡ ἐπιθυμία, καὶ ἡ
ἀγρυπνία, εἴς τι ἀγαθὸν χωρήσῃ. ἐρωτῶ ὑμᾶς χάριν
αἰτούμενος, ἕως ἔτι τὸ καλὸν σκεῦος ἐστὶ μεθ' ὑμῶν,
μὴ ἐλλείπητε μηδενὶ αὐτῶν. ἀλλὰ συνεχῶς ἐκζη-
τεῖτε ταῦτα, καὶ ἀναπληροῦτε πᾶσαν ἐντολήν.
ἔστι γὰρ ταῦτα ἄξια. διὸ μᾶλλον ἐσπούδασα γράψαι
ἀφ' ὧν ἠδυνήθην εἰς τὸ εὐφρᾶναι ὑμᾶς. σώζεσθε
ἀγάπης τέκνα καὶ εἰρήνης. ὁ κύριος τῆς δόξης καὶ
πάσης χάριτος μετὰ τοῦ πνεύματος ὑμῶν ἀμήν.


21